τρεῖς ψυχάς φασι, τὴν αὐξητικὴν, ἥτις ἐστὶν κοινὴ τῶν ἀνθρώπων, τῶν ἀλόγων ζώων καὶ τῶν φυτῶν, τὸ αἷμα ὅ- A περ ἐστὶ μόνων τῶν ζώων, καὶ τὴν λογικὴν, ἥτις ἐστὶ μόνων τῶν ἀνθρώπων.

Καί μ' ἀπολοῦσι. Σω. μὴ νῦν βαρέως ἄλγει λίαν.
Στρ. Καὶ πῶς ὅτι μου
Φροῦδα τὰ χρήματα, φρούδη χροιά.
Φρούδη δ' ἡ ψυχή. φρούδη δ' ἐμβάς.
Καὶ πρὸς τούτοις ἔτι τοῖσι κακοῖς,
Φρουρᾶς ᾄδων
Ὀλίγου φροῦδος γεγένημαι.
Σωκρ. Οὗτος τί ποιεῖς; οὐχὶ φροντίζεις; Στρ. ἐγώ.
Νὴ τὸν Ποσειδῶ. Σωκρ. καὶ τί δῆτ' ἐφρόντισας;
Στρ. Ὑπὸ τῶν κόρεων εἴ μου τι περιλειφθήσεται.
Σω. Ἀπολεῖ κάκιστ'. Στρ. ἀλλ' ὦ 'γάθ' ἀπόλωλ' ἀρτίως.
Σω. Οὐ μαλθακιστέ'. ἀλλὰ περικαλυπτέα.
Εὑρητέος γὰρ νοῦς ἀποστερητικός.
Κἀπαιόλημ'. Στρ. οἴμοι. τίς ἂν δῆτ' ἐπιβάλοι
Ἐξ ἀρνακίδων γνώμην ἀποστερητίδα;
Σωκρ. Φέρε νῦν. ἀθρήσω πρῶτον ὅ,τι δρᾷ τουτονί.
Οὗτος καθεύδεις; Στρ. μὰ τὸν Ἀπόλλω 'γὼ μὲν οὔ.
Σω. Ἔχεις τί; Στρ. μὰ Δί'. οὐδὲν ἔγωγ'. Σω. οὐδὲν πάνυ;
Στρ. Οὐδέν γε πλὴν ἢ τὸ πέος ἐν τῇ δεξιᾷ.

Et me perdunt. SO. ne nimis acerbè isthuc feras.
ST. At quomodo? cùm
Nulla pecunia, color nullus,
Nec vitæ in me sit quicquam: nullum
B Calceamentum: insuper excubiarum sim satur,
Propè nullus fio, miserq́;.
SO. Heus tu, quid agis? nil commentaris? ST. Egon'? ita
Per Neptunum. SO. quid ergo commentatus es?
ST. An aliquid in me reliquum siet à cimici-
C bus.
SO. Malè pereas. ST. at, ô bone vir, iam antè perij.
SO. Non decet ita mollem esse, sed obnubenda facies:
Et inquirenda apta ad fraudem sententia,
Et impostura. ST. vah quis inijcit mihi
Nunc ex agninis pellibus sententiam,
Ad fraudandos cimices aptam. SO. sine videam
D Primùm, quid hic agat: heus dormis? ST. non, per Iouem.
SO. Habes aliquid? ST. nihil equidem. SO. an prorsus nihil?
ST. Nihil prorsus habeo, nisi penem in dextera.

Σχόλια. Φρούδη δ' ἐμβάς.] μέχρι τοῦ εὐτελοῦς κτήματος. τοῦτο δὲ εἶπε διὰ τὸ ὑπολελύσθαι τὰς ἐμβάδας ὅτε ἀπεδύετο μέλλων εἰσιέναι εἰς τὸ φροντιστήριον. ἄλλως. οὐκ εἶπεν ὄπισθεν, ὅτι τὰς ἐμβάδας ὑπελύσατο ὁ Στρεψιάδης, ὅτε εἰσῄει τὸ ὑπὲρ γῆν ἐκεῖνο φροντιστήριον, ἀλλὰ μόνον ὅτι ἐξεδύσατο τὸ ἱμάτιον. καὶ οὐδὲν θαυμαστὸν ἦ γεγονὸς μὲν τότε παρῆκε. νῦν δὲ λέγει τουτέστι τὸ ὑπολύσασθαι τὰς ἐμβάδας. ὁ δὲ ἐκεῖ εἶπεν ἤγουν τὸ ἀποδύσασθαι τὸ ἱμάτιον, νῦν οὐ λέγει. Φρουρᾶς ᾄδων.] οἱ φρουροῦντες ἐν τῷ πολέμῳ διὰ τὸ παραμυθεῖσθαι αὐτῶν τὴν ἀγρυπνίαν ᾖδον. καὶ οὕτως ἦν λεγόμενον ἐπὶ τῶν ἀγρυπνούντων φρουρᾶς ᾄδειν. ἄλλως. τὸ φρουρᾶς ᾄδειν παροιμία ἐστὶν ἐπὶ τῶν ἀγρυπνούντων καὶ φροντιζόντων πάνυ λεγομένη. οἱ γὰρ ἐπιτραπέντες ἐν νυκτὶ τινὰ φυλακὴν ᾄδουσιν, ἵνα μὴ ὑπὸ τοῦ ὕπνου καταμαλθακισθέντες ἐκλίπωσι ὃ φυλάσσουσιν. εἰκότως δ' ἐνταῦθα ἡ παροιμία ἐλήφθη. καὶ γὰρ αὐτὸς ἐν τῇ κλίνῃ κείμενος οὐκ ἐκοιμᾶτο ἀλλ' ἐφρόντιζεν. ἀστείως δὲ πάνυ καὶ τὸ φροῦδος εἴρηκεν ὁ ποιητὴς ἐκ τῶν δύο λέξεων συνθήκης τῶν φρουρᾶς καὶ τοῦ ᾄδων σχηματίσας αὐτό. ἄλλως. ἐκ τοῦ παρεπομένου τοῖς φρουροῖς. εἰώθασι γὰρ ἑαυτοῖς ᾄδειν ἀποπεριεσπῶντες τὸν ὕπνον. φρουρᾶς ᾄδων οἷς διαγρυπνῶν τὴν φρουράν. παρὰ δὲ τὴν λέξιν τὴν φρούδη τοῦτο πεποίηκε. διττὴ δὲ ἡ γραφή. φρουρὸς ᾄδων ἀντὶ τοῦ συνεχῶς ᾄδων φρουρός. τὸ δὲ φρουρᾶς ᾄδων. ἀντὶ τοῦ φυλάττων. ἐπεὶ φύλακες ἦσαν τῶν φροντιστηρίων θυρῶν.

BISETVS. Φρουρᾶς ᾄδων] εἰ καλῶς ἔχει τὸ τῆς

E γραφῆς, ἔλλειψις ἂν εἴη τοῦ ἕνεκα. ᾄδων φρουρᾶς ἕνεκα, δηλονότι πρὸς τὸ τὸν ὕπνον ἀποσβεῖν. καὶ λέξεις ἐστὶ ἐνικὴν γενικήν. εἰ δὲ γράψῃς φρουρὰς, εἴη αἰτιατικὴ πληθυντική. ᾄδειν δὲ φρουρὰς ταὐτὸν τῷ φρουρᾶς ἕνεκα ᾄδειν, ἵνα τὸν ὕπνον ἀποθῶμεν. Ὀλίγου φροῦδος] ἔλλειψις τοῦ δέω. γεγένημαι φροῦδος ὀλίγου δέω, ἀντὶ τοῦ σχεδὸν γεγένημαι φροῦδος. ἀλλὰ τοῦτο ἀρχηστότερον, καὶ γὰρ ὡς ἐπιτοπλεῖστον οὕτω λαλοῦμεν, μικροῦ ἐδέησα γενέσθαι φροῦδος. ὀλίγου ἐδέησα ἀποθανεῖν, ἀντὶ τοῦ παρὰ μικρὸν, εἴτε σχεδὸν ἀπέθανον.

F Σχόλια. Ἀπόλωλ' ἀρτίως.] ὑπὸ τῶν κόρεων δηλονότι. ἐπειδὴ Σωκράτης εἶπεν ἀπολεῖ, ὅ ἐστι μέλλεις ἀπολέσθαι, αὐτὸς λέγει, ὅτι ἀπόλωλ' ἤδη. Περικαλυπτέα.] δεῖ σέ φησι καλύψασθαι καὶ σκέψασθαι. ἐπεὶ οἱ ἐκτείνοντες τὸν ὀφθαλμὸν, ἀποπλανῶνται τὴν γνώμην. Κἀπαιόλημ'] ἀπαιόλημα γίνεται ἀπὸ τοῦ αἰόλλω, ὃ δηλοῖ τὸ ταχέως καὶ δίκην ἀέλλης κινῶ, ἀφ' οὗ Ὅμηρος αἰολοπώλους τοὺς Φρύγας καλεῖ, ἤγουν ταχυίππους ἢ ποικίλως ἱππαζομένους. Ἀρνακίδων.] ἀρνακὶς λέγεται, τὸ τοῦ ἀρνὸς κώδιον. ἔπαιξε δὲ πρὸς τὸ ἀρνεῖσθαι. δέον εἰπεῖν τίς ἄν μοι περιβάλοι ἐξ
G ἀρνακίδων σισύραν. ἔπαιξεν ὀνομάσας ἀπὸ τῶν ἀρνῶν τὸ ἀρνεῖσθαι τοὺς δανειστὰς, τὸ ἐξ ἀρνακίδων· τὸ δὲ ἀποστερητίδα, ἅμα μὲν καὶ πρὸς τὸ ἀπὸ τοῦ ἀποστερεῖν. ἅμα δὲ καὶ ἀντὶ τοῦ περιβόλαιον. Ἔχεις τί.] ἐπειδὴ προεῖπεν αὐτῷ ἀναρτήσας τὴν φροντίδα, ὡς ἐπὶ ὀρνιθοθήρου, εἶπε τὸ ἔχεις. ὡς τῷ τῶν ἀγρευόντων ἤτοι ὄρνιν ἢ ἰχθὺν, εἶπε τὸ ἔχεις τι. ἀναρτῆσαι γὰρ αὐτῷ ἐκέλευσε τὴν διάνοιαν καὶ τὴν φροντίδα.